ἵμερον ἀστράπτουσα κατ᾽ ὄμματος, †ἠδ᾽ ὑπὲρ ὤμων†
συὺν πετάσῳ, γυμνὸν μηρὸν ἔφαινε χλαμύς.

## XXI

εἰ πτερά σοι προσέκειτο καὶ ἐν χερὶ τόξα καὶ ἰοί,
οὐκ ἂν Ἔρως ἐγράφη Κύπριδος ἀλλὰ σὺ παῖς.

## XXII

μικρὸς Ἔρως ἐκ μητρὸς ἔτ᾽ εὐθήρατος ἀποπτάς
ἐξ οἴκων ὑψοῦ Δάμιδος οὐ πέτομαι,
ἀλλ᾽ αὐτοῦ φιλέων τε καὶ ἀζήλωτα φιληθείς,
οὐ πολλοῖς εὐκρὰς δ᾽ εἷς ἑνὶ συμφέρομαι.

## XXIII

οὔπω τοξοφορῶν οὐδ᾽ ἄγριος ἀλλὰ νεογνός
οὑμὸς Ἔρως παρὰ τὴν Κύπριν ὑποστρέφεται
δέλτον ἔχων χρυσέην, τὰ Φιλοκράτεος δὲ Διαύλου
τραυλίζει ψυχῇ φίλτρα κατ᾽ Ἀντιγένους.

## XXIV

εὗρεν Ἔρως τι καλῷ μῖξαι καλόν, οὐχὶ μάραγδον
χρυσῷ, †ὃ μήτ᾽ ἀνθεῖ μήτε γένοιτ᾽ ἐν ἴσῳ†,
οὐδ᾽ ἐλέφαντ᾽ ἐβένῳ, λευκῷ μέλαν, ἀλλὰ Κλέανδρον
Εὐβιότῳ, πειθοῦς ἄνθεα καὶ φιλίης.